ἀπὸ δραχ(μῶν) εἴκοσι δύο τὸ ἐπι-
βάλλον σοι μέρος δραχ(μὰς) ἕν-
δεκα /ϛια, καὶ οὐδέν σοι ἐν-
10 καλῶ. Ἁρπαῆσις Ὀρβάιτος
[ἔ]γραψ(α) ὑπ(ὲρ) αὐτοῦ μ[ὴ] εἰδ(ότος) γράμμ(ατα).
[ᒪ]κγ Ἀντωνίνου Καίσαρος
[τ]οῦ κυρίου Ἁθὺρ κβ. Ἀτπαχνοῦμις 19. Nov. 159.
τ . . . . α . . ν . . ων Σαραπίων
15 [. . .]πεως μαρτυροῦ(μεν).

K. Wessely, Wien. Stud. VII. 72 ff. — Wilcken, Berl. Philol. Wochenschr. 29. Sept. 1888. S. 1208.

1 *Θινψάτ Wessely*. — 3 *παναπεως* (wohl verschrieben für *παναπώτεως* oder *παναμέως?*); *Πανατρέως Wessely*. — 4 *χαιρειν*] *ορσην*

(= Ὀρσηνόφρεως) *Wessely*. — 5 *μηνο*] *δημο Wessely*. — 6 *φιλος* („sicher!") *ορβαιτος παντα μετατο^κ Wessely*. — 9 *ουδεν σοι εν*] *συμπαν δι Wessely*. — 10 *εγραψα δημοφι^λ ορβαιτος Wessely*. — 11 *γραψ υ*) *αυτου μ// ει^δ γραμμ*] [*ὑπ*]*ερ αυτ(ου) μη ειδοτος τα γραμμ^τ Wessely*. — 12 *κγ*] *ιγ Wessely*. — 13 *αθυρ κβ ατπαχνουμις*] *ημων Wessely*. — 14 *παντων αθυρ Wessely*. — 15 ////*πεως μαρτυρου*] *κη Wessely*.

Eine Privatquittung, durch welche dem Schuldner (der *Θινψανσνῶς?*) quittirt wird, dass er von der mit Menophilos zusammen erhobenen Schuld von 22 Dr. den auf ihn (*σοι* 8 richtig, nicht mit Wessely für *μοι* verschrieben) entfallenden Antheil von 11 Dr. zurückgezahlt habe.

---

241 Elephantine. — British Mus. 12070.

Ἀμμώνιος καὶ Σωκ(ράτης) οἱ β̄ πράκ(τορες) ἀργ(υρικῆς) Ἐλεφ(αντίνης)
διὰ Παχομπετενεφώτ(ου) βουηθοῦ (sic). Διέγρα(ψεν)
Παναπῶθις Ἀμμωνίου μητ(ρὸς) Θιννῆσις ὑπ(ὲρ) μερισ-
[μ]ῶν κα \ ς α — 𐅵. ∟ κγ Ἀντωνίνου Καίσαρος τοῦ κυρίου 157/158.
5 [Παῦ]νι ιγ̄. Ἀμμώνιος σεσημ(αίωμαι). 7. Juni 160.

Birch, Proc. SBA. 167.

2 *βοηθου Birch*. — 3 *Αμμονατ^τ Birch*. — 4 *ον κα \ ς αγ ∟ κγ Birch*. Name und Titel des Antoninus setzt Birch irrthümlich als 5 darunter.

***242** Elephantine. — Athen, Collection Finlay.

Ἀμμώνιος καὶ Σωκ(ράτης) οἱ β̄ πράκ(τορες) ἀργ(υρικῆς) Ἐλεφ(αντίνης)
διὰ Παχομπετενεφώτ(ου) βουηθ(οῦ) (sic). Διέγρ(αψεν)
Μενόφιλος (sic) μίζω(ν) (sic) Ὀρβάϊτος μητ(ρὸς) Τισᾶτις
καὶ Ἁρπαῆσις υἱὸς ὑπ(ὲρ) μερισμῶν
5 κγ \ ἑκάστου ἀνδρὸς ς α 𐅵. ∟ κγ 159/160.
Ἀντωνίνου Καίσαρος τοῦ κυρίου
Παῦνι ιη̄. Ἀμμώνιος σεσημ(αίωμαι). 12. Juni 160.

Dumont, *Πανδώρα*, XVIII, *φυλλαδ*. 418. Athen 1867. Das Facsim. wiederholt in Rev. Arch. NS. XIX. 225 (danach Birch, Proc. SBA. V. 167.)

1 *Ἀμμώνιος Κανώψ[ιος]* oder *Κανω[βι]κ[ὸς] οἱ ὑ[πο]πράκ[τορες] Ἀργυ[ρικῆς] Ἐλεφ[αντίνης] Dumont.* — 1 *αργ] πυλ Birch.* — 2 *παχομπετενεφωτ βοηθ] Πάχομτις [. . . . .] Κο Dumont; Παχομπετενεφωχ βοηθ Birch.* — 3 *Μηνόφιλος Μιζω[. . βαΐτου] Μητρισᾶ-[τις] Dumont; Μενοφιλος Μοχωιρβᾶιτου μη . . . . ισις Birch.* — 4 *Ἄρπλησις Dumont.* — 4 *υ) μερισμων] [υζα ρισμων] Dumont; υ μερις αλλων Birch.* — 5 *κγ ς] κ* HS *Dumont; και Birch.* — 5 *ς α ς'] ξ* N *Dumont;* fehlt bei *Birch.* — 7 *ιη αμμωνιος σεσημ] ιη. Ἀμμωνίου. Παϋνὶ ιη Dumont; η Ἀμμώνιος ἐγρα Birch.*

---

243 Elephantine. — British Mus. 12476.

Ἀμμώνιος καὶ Σωκ(ράτης) οἱ β̄ [πράκ(τορες)]
ἀργ(υρικῆς) Ἐλεφ(αντίνης). Διέγρ(αψεν) Μην[όφιλος]
μείζ(ων) Ὀρβ(άιτος) ὀνόμ(ατος) Πετε[. . . . . ὑπ(ὲρ)]
τειμῆς δημοσίου [φοίνικος . . . . .]
5 δραχ(μὰς) τρῖς ὀβολ(οὺς) δ[ύο / ς γ =. L . .]
Ἀντωνείν[ου Καίσαρος τοῦ κυρίου . . . . .]

Birch, Proc. SBA. V. 168.

1 *β* noch zur Hälfte erhalten. — 2 *μην] Καλ Birch.* — 3 *μητ Ζοραυο Πετο . . . . . Birch.*

---

244 Syene. — British Mus. 12460.

[. . . . .] . . ι ἐπιτ(ηρητὴς) ἱερ(ᾶς) πύ(λης) Σοήνης
[. . . . .]ωνος μαχαιροφόρου
[. . . . .] Ἀτπεχνοῦβ(ις) ὁ καὶ Ἀμμώνιος
[. . . . .]ων προβάτων ἕξ / προβ(άτων) ς̄
5 [. . . . .]L Ἀντωνείνου Καίσαρος τοῦ κυρίου
[. . . . .] = / ς η.
[L . . Ἀντωνεί]νου Καίσαρος τοῦ κυρίου
Φαμενὼθ γ̄. 27. Febr.

Birch, Proc. SBA. V. 168.

1 Anfang: *μοις Birch.* — 3 *Απαχνουβ υβ Αμμωνιου Birch.* — 6 *ι ς θ ς Birch.*

---

245 Syene. — British Mus. 5826.

Οὔλπιος Κερεᾶλις μισθ(ωτὴς) ἱερᾶς πύλ(ης)
Σοήνης διὰ Παχνοῦβις βοηθ(οῦ). Διέγρ(αψεν)
Σεραπίων Ἀμμωνίου μη(τρὸς) Θινπετορζ(μήθου)

ὑπ(ὲρ) λαογ(ραφίας) α ς δραχ(μὰς) δέκα ἑπτὰ ὀβολ(ὸν) / ς ιζ —. 161.
5 ∟β ᾱ (sic) Αὐτοκράτορος Καίσαρος Μάρκου
Αὐρηλίου Ἀντωνίνου Σεβαστοῦ
καὶ Αὐτοκράτορος Καίσαρος Λουκίου
Αὐρηλίου Οὐήρου Σεβαστοῦ
Πα(ῦνι) κζ.

5 Verschreibung der Jahreszahl. Meine Copie trägt die Bemerkung: „das β̄ scheint ausgelöscht zu sein, und ᾱ statt dessen daneben gesetzt“. Danach wäre der 27. Payni der 21. Juni 161. Möglicherweise aber ist das (matt geschriebene) β̄ Correctur von 2. Hand.

---

246 Elephantine. — British Mus. 5799.

Οὐαλέριος Σερῆνος καὶ Παταχῆμις οἱ β̄
πράκ(τορες) ἀργ(υρικῆς) Ἐλεφα(ντίνης) διὰ Πετορζμ(ή)θ(ου)
βοηθ(οῦ). Διέγρ(αψεν)
Παπρεμίθης Ἁρπαήσεως μητ(ρὸς) Θινζμ . . .
. . τος ὑπ(ὲρ) μερισ(μοῦ) / / / ς κβ ς ς ε = ᷍. ∟β 158/159.
5 Ἀντωνίνου καὶ Οὐήρου Καισάρων τῶν
κυρίων Ἐπεὶφ ιϛ̄. 10. Juli 162.

Scheint identisch zu sein mit Young, Hierogl. II. Taf. 55. XIX (daraus C I Gr. 4888 und Fröhner No. 44 Rev. Arch. NS. XII. 37). Young's Facsimile würde dann allerdings völlig ungenügend sein.

***247** Elephantine. — Wien.

<Οὐαλέρ>ιος Σερῆνος καὶ Π<αταχῆμι>ς
[οἱ β̄ π]ράκ(τορες) ἀργ(υρικῆς) Ἐλεφαντ(ίνης) διὰ Μάρκ(ου)
βο[η]θ(οῦ).
[Δι]έγρ(αψεν) Ἀτρατῖνος ὁ καὶ Κέφαλ(ος)
Πέρσου μητ(ρὸς) Ταναπῶτις
5 [ὑπ(ὲρ)] μερισμ(ῶν) β∟ ς η = ᷍. ∟β 161/162.
[Ἀντ]ω[νίνου] καὶ Οὐήρου
[Καισάρων τ]ῶν κυρίων.

Wessely, Wien. Stud. VIII.

1 *Οὐαλέριος* und *Παταχῆμις* vermuthe ich nach No. 246 etc.; [*Σεν*]*αμ*[*ού*]*νιος* und *Πτολεμαῖος Wessely.*

248 Elephantine. — München.

[Οὐ]αλέριος Σερῆνος καὶ Πα[ταχῆμις]
[οἱ] β̄ πράκ(τορες) ἀρ(γυρικῆς) Ἐλεφα(ντίνης) διὰ Πετ[ορζμήθου]
[βοηθ(οῦ)]. Διέγρ(αψεν) Πετορζμ(ῆ)θ(ις) Παν[. . . . μητ(ρὸς)]
[Θι]νπατχνοῦβις ὑπ(ὲρ) μ[ερισμῶν γ∟]
5 [δραχ(μὰς)] δ. ∟γ Ἀντωνίνου καὶ [Οὐήρου]
[Καισάρων] τῶν κυρίων Θὼθ [. . .] Aug./Sept. 162.
[. . . . . .] . . . . . . [. . . .]

249 Elephantine. — British Mus. 14908 + 15668.

[Οὐαλέριος Σερῆνος καὶ Παταχῆμις οἱ β̄]
[πράκ(τορες) ἀργ(υρικῆς) Ἐλε]φ(αντίνης) δι[ὰ Πε]τορζμ(ή)θ(ου)
[βοηθ(οῦ). Διέγ]ρ(αψεν) Σαραπίων Ἀμωνίου (sic) μ(η)τ(ρὸς)
Σενπετορζ(μήθιος) ὑπ(ὲρ) μερισμ(οῦ) ἀ[ν]δρία(ν)τ(ων) β̄ καὶ
5 προτομ(ῶν) β̄ τῶν κυρίων Καισάρων ϛι, καὶ
ὑπ(ὲρ) μερισμ(οῦ) οἰκοδ(ομίας?) σκ(ο)π(...) ϛχγ. ∟γ Ἀντωνίνου
καὶ Οὐήρου Καισάρων τῶν κυρίων Φαῶφι ια̅. 8. Oct. 162.

250 Syene. — British Mus. 5800.

Οὔλπιος Κερεᾶλις μισθ(ωτὴς) ἱερᾶς
πύλης Σοήνης διὰ Παχνοῦβις
Πετορζ(μήθου) βοηθ(οῦ). Διέγρα(ψεν) Πατσίβτις
Πετορζ(μήθου) μη(τρὸς) Σενπελαίας ὑπ(ὲρ)
5 χειρω(ναξίου) γϛ δραχ(μὰς) εἴκοσι ὀβολ(οὺς) 162/163.
δύο /ϛκ=. ∟γ̄
Ἀντωνίνου καὶ Οὐήρου
Καισάρων τῶν κυρίων
Σεβαστῶν Φαμενὼθ λ̄. 26. März 163.

251 Syene. — Louvre 12.

Οὔλπιος Κερεᾶλις μισθ(ωτὴς)
ἱερᾶς πύλ(ης) Σοήνης διὰ Παχνούβ(ιος)
Πετορζ(μήθου) βοηθ(οῦ). Διέγρα(ψεν) Σεραπίων Ἀμ-
μωνίου μη(τρὸς) Σεν[πε]τορζ(μήθιος) ὑπ(ὲρ) λαογ(ραφίας) γϛ 162/163.
5 δραχ(μὰς) δέκα ἑπτὰ ὀβολ(ὸν) /ϛιζ—. ∟γ̄
Ἀντωνείνου καὶ Οὐήρου

Καισάρων τῶν κυρίων
Σεβαστῶν Παῦνι ιγ. 7. Juni 163.

Fröhner No. 42 (Rev. Arch. NS. XII. 36 ff).
4 *λαογ γ*∫] *λαογρ(αφίας) Fröhner.* — 8 ιγ] *γ' Fröhner.*

---

252 Syene. — British Mus. 5821.

Οὔλπιος Κερεᾶλις μισ(θω)τ(ὴς)
ἱερᾶς πύλ(ης) Σοήνης διὰ
Παχνοῦβις βοηθ(οῦ). Διέγ(ραψεν)
Πατσίβτις Πετορζ(μήθου) μητ(ρὸς)
5 Σενπελαίας ὑπ(ὲρ) λαο(γραφίας) γ∫ 162/163.
δραχ(μὰς) δέκα ἑπτὰ ὀβολ(ὸν)
/ ϛ ιζ —. ∟γ
Αὐρηλίων τῶν
κυρίων Σεβαστ(ῶν)
10 Παῦνι κη. 22. Juni 163.

Palaeogr. Society II Ser. I No. 16.
4 *παυνβτις Pal.* — 5 *σενπελειδος υ[περ] λαογρ[αφιας] Pal.* — 7 — fehlt *Pal.* — 8 *αυρηλιον και[σαρος] τον Pal.* — 9 *κυριον σεβαστον Pal.*

---

253 Elephantine. — British Mus. 14145.

Οὐαλέριος Σερῆνος καὶ Παταχῆμις
οἱ β πράκ(τορες) ἀργ(υρικῆς) Ἐλεφ(αντίνης) διὰ Πετορζμ(ή)θ(ου) βοηθ(οῦ).
Διέγρ(αψαν) Πατσίβτις Πετορζμήθ(ου) μητ(ρὸς) Σενπετορζ[μήθ(ιος) καὶ Π]αχνοῦβις υἱὸς μητ(ρὸς)
5 Τα . λι . αυ . . ὑπ(ὲρ) μερισμ(ῶν) γ∫ ἑκάστου 162/163.
ἀνδρὸ(ς) ἕκ(αστος) ϛ α — 𐅵 / ϛ β 𐅵. ∟γ
Ἀντωνίνου καὶ Οὐήρου Καισάρων τῶν
κυρίων Παοῖνι κη. 22. Juni 163.

---

254 Elephantine. — British Mus. 12162.

Οὐαλέριος Σερῆνος καὶ Πα[τ]εχῆμις οἱ β
πρά(κτορες) ἀργ(υρικῆς) Ἐλεφαντ(ίνης) διὰ Πετορζ(μήθου) βοηθ(οῦ). Διέγρ(αψεν)
Π[α]ναπῶτις Πα . . . . . υ μητ(ρὸς) Θι[ν]-

πετεπουῆρις ὑπ(ὲρ) μερισ(μῶν) β ∫ ἀνδριάντ(ων) καὶ <προτομῶν>
5 τῶν κυρίων Καισάρων κατὰ μέρ[ος] ς. 161/162.
. . . . . . L γ Ἀντωνίνου 162/163.
καὶ Οὐήρου Καισάρων τῶν κυρίων . [. .] . .
τῇ αὐτῇ ἡμέρᾳ ὁ αὐτὸς [ὁμο]ίως
ὑπ(ὲρ) τιμῶν δη(μοσίου) φοί(νικος) γενήματ(ος) τοῦ αὐτοῦ β ∫ 161/162.
10 ὀνόματ(ος) Παχομπα. . . . ρσησ . . . .
τος ς α ⌐ ⌐.

---

255 Syene. — British Mus. 14130 (5789f.).
Οὔλπ[ιος Κ]ερεᾶλις μισθ(ωτὴς) ἱερᾶς πύλ(ης) Σοήνης
διὰ Παχν(ούβιος) βοηθ(οῦ). Διεγρ(άφησαν) [ὑπ(ὲρ) τι(μῆς)
δ]η(μοσίου) φοίνικ(ος)
γενή(ματος) γ ∫ ὀν(όματος) Παχνο(ύβιος) Φ[ά]φι(ος) (?) ς/////////
ς δ / ς η. L δ Ἀντωνίνου καὶ Οὐήρου 162/163.
5 Καισάρων τῶν κυρίων Ἁδρια[νοῦ] ιβ. 9. Dec. 164.

---

256 Elephantine. — British Mus. 12088.
[. . . . .] ἀργ(υρικῆς) Ἐλεφα(ντίνης) διὰ
[. . . . . βοηθ(οῦ). Διέγρ(αψεν)] Παναπῶτις
[Ἀμμωνίου μη(τρὸς) Θιν]νῆσις ὑπ(ὲρ) μερισμ(ῶν) δ ∫ ἀρ(γυρίου) ς δ.
[L δ Ἀντω]νίνου καὶ Οὐήρου τῶν κυρίων 163/164.
5 [. . . . . . .]

---

257 Elephantine. — British Mus. 5824.
Λονγεῖνος Σερῆνος καὶ Πετρῶνις (sic) Βᾶρ[ις]
πράκ(τορες) ἀργ(υρικῆς) Ἐλεφαντ(ίνης) διὰ Πετορζμήθ(ου)
β[οηθ(οῦ)]. Διέγρ(αψεν) . . . . . ν
. . . . . ὑπ(ὲρ) τιμῆς δημ(οσίου) φοί(νικος) γενήματ(ος) δ ∫ . . . . ον
. . · Θωτ . ς β. L ε Ἀντωνίνου καὶ Οὐήρου Καισάρων 163/164.
5 τῶν κυρίων Φαμενὼθ κδ. 20. März 165.

---

258 Elephantine. — Berlin 5.
[Λονγεῖνος Σερ]ῆνος καὶ Πετρῶνις (sic)
[Βᾶρις πράκ(τορες) ἀ]ργ(υρικῆς) Ἐ(λ)εφαντ(ίνης) διὰ Πετορ-
[ζμήθ(ου) βοηθ(οῦ). Διέγρ(αψεν) Ἁ]ρπαῆσις Πετεσούχου
[μητ(ρὸς) Σενπετορ]ζμήτ(ιος) ὑπ(ὲρ) μερισ(μῶν) ε ∫ ἐπὶ λόγ(ου) ς δ.
5 [L ε Ἀντωνίν]ου καὶ Οὐήρου Καισάρων τῶν 164/165.
[κυρίων Παχ]ὼν κζ. 22. Mai [165].

***259** Elephantine. — München.

Λ[ο]γγεῖνο[ς Σ]ερῆνος καὶ Πετρῶνις Βᾶ[ρις]
[πράκ(τορες)] ἀργ(υρικῆς) [Ἐλε]φαντ(ίνης) διὰ Πετορ[ζμή]θ(ου)
βοηθ(οῦ). Διέγρ(αψαν) /////
. . βις Πατχναύτεως καὶ Παχομπαρνοῦφις
. . . [. . .] . . . ειου καὶ Πα . . . ηφνεὺς . . .
5 . ορνω[. .]ς ὑπ(ὲρ) φ[όρ]ου διόρυγος (sic) Γαη . . λ .
. . . χ δ[ρ]αχ(μὰς) πεντακοσίας δώδεκα /ϛ φιβ [. .]
α /////////ιου . ρο . . . ιο . . . ων [. .]
Τῦβι α̅.

Sehr schwer lesbar.

---

260 Syene. — Louvre 7255.

[. . . . .]η· ἐπιτ(ηρητὴς) ἱερᾶς πύλ(ης) Σοή(νης) διὰ Σερή-
[νου βοηθ(οῦ)]. Διέγρ(αψεν) Σανσνῶς // Θινπατχ(ναύτιος)
[ὑπ(ὲρ) λ]αογ(ραφίας) η ϛ δραχ(μὰς) δέκα ἓξ ὀβολ(ὸν) /ϛ ιϛ —. 167/168.
[∟η] Ἀντωνίνου καὶ Οὐήρου
5 [Κ]αισάρων τῶ[ν] κυρίων Μεσορὴ κ̅. 13. Aug. [168].

---

261 British Mus. 5831.

]. θ . [. . . . .]
]. λημ . [. . . .]
]ἀνδ(ριάντων) ἀνακε[χ(ρυσωμένων)]
ὀβ]ολ(οὺς) δύω (sic) δίχαλκ[ον]
]νου Οὐήρου
κ]υρίων Φαῶφι ιβ̅. 14./15. Oct.

---

262 British Mus. 12146.

Παχνοῦβι[ς καὶ . . . .]
βις Καλασείρ[ιος μισθ(ωταὶ)]
εἴδο⟨υ⟩ς ὁρμοφυλ[ακίας . . . . . .].
Πετεπουῆρις . . ε . . [. . . .]
5 ὁρμοφ' οὗ ἐποήσου (sic) [τοῦ]
Θὼθ τοῦ ἐνεστῶτος θ ϛ 168/169.
ἀγωγ(ίων) γ̅ ϛβ —. ∟θ
Ἀντωνείνου Καίσαρος
τοῦ κυρίου Φαῶφι
10 ζ̅. 4. Oct. 168.

2 *μισθ·* ergänzt nach 274. — 3 meine Copie hat, wohl irrig, *ειδος*. — 4 ff. wohl zu ergänzen und zu lesen: [*ὑπ(ὲρ)*] *ὁρμοφ(υλακίας)* ⟨*ω̃ν*⟩ *ἐποήσου* — *ἀγωγ(ίων)* *γ̄*. Vgl. No. 302—304.

Da dieser bei der *ὁρμοφυλακία* angestellte *Παχνοῦβις* für die Zeit des Marcus (264) und Commodus (275) bezeugt ist, so wird mit dem Antoninus Caesar hier wie öfter Marcus gemeint sein.

---

263 Louvre 7209.

Παχνο[ῦβις] κ[αὶ . . . μισθ(ωταὶ) εἴδους]
ὁρμοφυλακ(ίας) //// [. . . . . . .]
Ὥρου ὑπ(ὲρ) ἐνορμίο[υ τοῦ]
Παῦνι τοῦ ἐνεστῶ[τος . ∫]
5 Αὐρηλίου Ἀντων[ίνου]
Καίσαρος τοῦ κυρίου [. . . . .]
ιβ.

---

264 Syene. — British Mus. 12096.

Στέφανος καὶ οἱ σὺν αὐτ(ῷ) ἐπιτ(ηρηταὶ)
ἱερᾶς πύλ(ης) Σοή(νης) διὰ Σερήνου βοη(θοῦ). Διέγρ(αψεν)
Πα[. . .] . ις . β . . . μ[η](τρὸς) Ταλ . λ . . . ς
ὑπ(ὲρ) [λαο]γ(ραφίας) ια∫ δραχ(μὰς) δέκα ἑπτὰ ὀβολ(ὸν) ϛιζ —.
5 ∟ια Αὐρηλίο[υ Ἀντωνίν]ου — 170/171.
Καίσαρος τοῦ κυρίου Μεσορὴ ιθ̄. — 12. Aug. 171.

---

265 Berlin 330.

Αἰβούτιος Νίγερ καὶ Παχνοῦβις Πετορζ(μήθου)
διὰ Ἀντωνείου Ἰουλί(ου) γρα(μματέως). Διέγ(ραψεν) Ψενπετῆς
Ψάϊτος μητ(ρὸς) Τισᾶτις ἐπι (?) δ . α . η . . ιρονον (?) καὶ . .·
καὶ τροφῆς δε^λ καὶ ἀγ° απ . . . ων ιγ∫ ϛαϝ ζ' χ̊. ∟ιδ // — 172/173.
5 Ἁδριανοῦ ιϛ̄. (2. Hand:) Αἰβοῦτις (sic) Νίγερ σε(σημαίωμαι) ὀνό-
μ(ατος) . . . . ϛαϝ ζ' χ°. — 11. Jan. 174.

***266** Elephantine. — Sayce.

Αἰβούτιος Νίγερ καὶ Ἰούλιος Σερῆνος πράκ(τορες) ἀ[ργ(υρικῆς)
⟨Ἐλεφ(αντίνης)⟩].
Διέγραψ(εν) Θινψενχ⟨. . . .⟩ ὑπ(ὲρ) τιμῆς δη[μοσίου]
φοίνεικος (sic) γενήματος ⟨ιδ∫ ὑπ(ὲρ)⟩ ὀνόματος Κατ . . . . 173/174.
Παμώνθου δραχ(μὰς) δύο ὀβολ(οὺς) τρεῖς /ϛβ Γ. ⟨∟ιδ⟩

5 Αὐρηλίου Ἀντωνείνου Καίσαρος τοῦ κυρί[ου].
Ἰούλ(ιος) Σερῆνος συν<απ>έσχ(ον).

Sayce, Proc. SBA. IX. 200 (vgl. Journal of Hellen. Stud. I. 92.)

2 *Θινψενχης μς* (= *μισθωτής*) *Sayce*; unmöglich, da *Θινψενχ* . . . . eine Frau ist. — 3 *ιδ* ς *υ*) vermuthe ich statt *Διεγρ Sayce*. — 6 *συναπεσχ* vermuthe ich nach 271-272 statt *συνεσχ Sayce*.

---

267 Syene. — Turin 15.

Κασσιανὸς καὶ οἱ σὺν α(ὐτῷ)
ἐπιτ(ηρηταὶ) ἱερᾶς πύλ(ης) Σοήν(ης) διὰ
Παχνούβ(ιος) βοηθ(οῦ). Διέγρ(αψεν) Μη-
νόφιλος ὑπ(ὲρ) ὀνό(ματος) μητ(ρὸς) Πετε-
5 σούχου Ἁρπ(αήσιος) ὑπ(ὲρ) γεο(μετρίας) φοιν(ικῶνος) γεν(ήματος)
ιγ ς ςγ χα. ∟ιδ Μάρκου — 172/173.
Αὐρηλίου Ἀντωνίνου
Καίσαρος τοῦ κυρίου Φαρμ(οῦθι) ς̄. — 1. April 174.

Darauf 1 Zeile Demotisch.

Lumbroso, Atti dell' Acad. d. scienze di Torino IV. 1869. 704 ff. N. 2.

1 *κασσιανος*] *Ἀππιανὸς Lumbroso*. — 4 *νό(φε)λος* . . . . *(ἀ)πὸ μητ(ρὸς) Πιν- Lumbroso*. — 5 *ουχουαου ὑ(πὲρ) (λοπ) φοιν̄ γη̄ Lumbroso*. — 6 ∟*δ̄ Lumbroso*. — 8 *φαρμ*] *Φαμ̄ Lumbroso*. — 9 (*δ Ἀντωνίνου?*) *Lumbroso*.

---

268 Syene. — Louvre 7179.

Κασσιανὸς καὶ οἱ σὺν [αὐτ(ῷ) ἐπιτ(ηρηταὶ)]
ἱερᾶς πύλ(ης) Σοήν[ης διὰ Παχνούβ(ιος) βοηθ(οῦ)].
Διέγρα(ψεν) Ψᾶις . . . . νος [. . . . .]
ὑπ(ὲρ) γε[ω(μετρίας)] φοι(νικῶνος) γεν(ήματος) ιγ ς ἀπὸ ςι[. . . . .]
5 καὶ ὀνόματος Πετορζ(μήθου) Ἁρπ(αήσιος) ς[. . . . .] — 172/173.
∟ιδ Μάρκου Αὐληρίου (sic) Ἀν[τωνίνου]
Καίσαρος τοῦ κυρίου Παχὼν ιη. — Mai 174.

---

269 British Mus. 14189 (5851 a nach Birch).

ιε∟ Ἀντωνείνου Καίσαρος
τοῦ κυρίου Φαρμοῦθι ε̄ διέ(γραψαν) Πετορζμῆθ(ις) — 31. März 175.
Πατχναύτιος μητρὸ(ς) Σενφαήσ(ιος) καὶ

Παπρεμείθ(ης) ἀδελφὸς καὶ Πα΄. . . ων[. .]

5 ἄλλος ὑπ(ὲρ) λαογραφίας ιε ∟ ἑκάστ(ου) ἀνδ(ρὸς) 174/175.

ἕκ(αστος) ιϛ— / ἔσ(τιν) ϛμη Γ. Διὰ Ἀμμωνίου.

Birch, Proc. SBA. V. 167.

2 *Πετορζμη^ϑ* von Birch irrig als 3. Zeile eingerückt. — 3 *σενφαησ̄*] *Συνπελς Birch.* — 4 *Πανουμι(ϑ) αδελφου και Πεταμμωνιο(ς) Birch.* — 5 *αν^δ* fehlt bei *Birch.* — 6 *(δ)ραχμας εικοσι κ ρ δια Αμμωνιου Birch.* — Dass mit Antoninus hier Marcus gemeint ist, zeigt No. 270.

---

270 British Mus. 13998.

ιϛ ϛ Αὐρηλίου Ἀντωνίνου Καίσ[αρος]

τοῦ κυρίου Μεσορὴ ιζ̄ διέγ(ραψαν) Σω[. . .] 10. Aug. 176.

καὶ Σεραπ(ίων) ἀμφό(τεροι) Ἀτπηου . . . . [. .]

λαογ(ραφίας) ιϛ ϛ ἕκ(αστος) ϛιζ, καὶ ὑπ(ὲρ) μερισμ[ῶν] 175/176.

5 λήμμα(τος) ιε ϛ ἕκ(αστος) ϛβ —. Διὰ Σε[. . . .] 174/175.

---

271 Elephantine. — Louvre 7645.

Ἰούλ(ιος) Σερῆνος πράκ(τωρ) ἀργ(υρικῆς) Ἐλεφ(αντίνης) καὶ Ἀπολλώ-

νιος Ἀμωνίου (sic) καὶ Οὐαλερίων Μη-

μ . ρβ· ἀναδοθ(έντες) εἰς κλῆρο(ν) ἀντὶ Ἁρπ(αήσιος).

Διέγραψ(εν) Πετορζ(μῆθις) // μη(τρὸς) Θιν-

5 πατρανσνοῦφις ὑπ(ὲρ) μερισμῶν

ιη ϛ ὑπ(ὲρ) προυρίου (sic) περὶ Φοινίκ(ην) καλο[ύ]- 177/178.

μενον (sic) Σανδαντηṿ δραχ(μὰς)

δέκα τέσσαρας ὀβολ(ὸν) ἡμιόβελιν (sic)

δίχαλκον. ∟ιθ // Τῦβι ιε̣. Jan. 179.

10 Ἰούλ(ιος) Σερῆνο(ς) συναπέσχο(ν).

Fröhner No. 33 (Rev. Arch. NS. XII. 32 ff.)

1 *απολλω*] *Αντω Fröhner.* — 2 *μη*] *μη(. . . . ?) Fröhner.* — 3 *μερῶ(ν) ἀναδοθ(έντων) εἰς κλῆρο(ν) ἀντὶ ἀρρα(. . . . ?) Fröhner.* — 4 *πετορ* // *μηθιν*] *Πετόρζμηθιν Fröhner.* Die beiden Striche // werden häufig hinter die Namen von *ἀπάτορες* gesetzt. — 6 *προυριου περι φοινι^κ*] *πρ(αιτ)ουρίου περὶ Φοίνικ(ας) Fröhner.* — 7 lies: *καλουμένου.* — 7 *σανδαντηṿ*] *Σενδάντηξι Fröhner.* — 8 Schluss: *ἡμιόβλην Fröhner.* — 9 *ιε̄* oder *ιθ̄*; *ϑ' Fröhner.* — 10 *συναπεσχ^ο*] *συγ(γράφω) ἀπέχ(ω) Fröhner.*

272 Elephantine. — British Mus. 5810.

Ἰού[λ(ιος) Σ]ερῆ(νος) πράκ(τωρ) ἀργ(υρικῆς) Ἐλε(φαντίνης) καὶ Οὐ-
αλερί̣ω̣ν καὶ Ἀπολλ(ώνιος) ἴς (sic) κλῆρον
πρα^κ ϗ̣ ∫ ἀνε̄. Διέγραψεν Θινε-
σέπτις Τισᾶτις τιμῆ(ς) δημω-
5 σίου φένικος (sic) γενή(ματος) ιη ∫ // ὀνό(ματος) 177/178.
Ἀννίου Βάσσου ∫ α ϝ, καὶ ὑπὲ(ρ) ὀνό(ματος)
Ἀγαθωδώρου (sic) καὶ Βάσσο(υ) καθ' ἑατὸν (sic)
μέρος ϝ. ∟ ιθ // Παχὼν ε. 30. April 179.
(2. Hand:) Ἰουλ(ιος) Σερ(ῆνος) συναπέσχ(ον).

Young, Hieroglyph. II. Taf. 55. XXIII (daraus CIGr. 4890 und Fröhner No. 34 Rev. Arch. NS. XII. 33).

2 *απολλ̄ ις κληρον*] *Ἀπολλώ(νιος) Ζμήτους Fröhner.* — 2–3 wohl zu lesen und zu corrigiren: *εἰς κλῆρον πρακ(τορίας)* oder *πρακ(τόρων) ϗ̣ ∫ ἀν⟨α⟩(δοθέντες).* Vgl. No. 271. — 3 *πρα^κ ϗ̣ ∫ ανε̄*] *πράκ(τορες) καρ(πῶν) ἀπέ(χομεν) Fröhner.* — 4 *σεπησί̣ταπις Ἰζμή(θους?) δημω Fröhner.* — 5 *γενη̄ ιη ∫ // ονο̄*] *νησι (. . . ?) ∟ η'. Ὀαλ[εν]- Fröhner.* — 6 *τηνίου Βάσσου . . . . . καὶ . . . . Fröhner.* — 7 *ἀπὸ Θεοδώρου Κάρβας τὸ καθ' ἑαυτ[ὸν] Fröhner.* — 7 Schluss lies *ἑαυτῶν* oder *ἕκαστον?* — 8 ϝ fehlt bei *Fröhner.* — 9 *συναπεσχ*] *ἑπτὰ δραχ(μὰς) Fröhner.*

---

273 Elephantine. — British Mus. 12405.

[. . . πα]ναπῶτ(ις) καὶ Πετορζ(μῆθις) Πετοζμ[ήθου] (sic)
[πράκ(τορες)] ἀργ(υρικῆς) Ἐλεφαντ(ίνης). Διέγραψ⟨α⟩ν Πρεμ-ψαῖμτος
[Πετ]ορζ(μήθου) καὶ Πετορζ(μῆθις) Πρεμψαῖμτος ὑπ(ὲρ) ἀννώ(νης)
μερισμοῦ στατίωνος ∫ δ ϝ ∠'. ∟ κε
5 Φαμενὼθ β̄. 26. Febr. 185.

2 meine Copie hat, wohl irrig, *διεγραψεν.*

---

274 British Mus. 14068 (5789 d.).

Παχνοῦβις καὶ Π̣απᾶς
[μ]ισ[θ(ωταὶ)] εἴδους ὁρμοφυλ(ακίας). Διέ-
γρ(αψεν) Πα . ῆτις ὁ καὶ Ψεν . . . .
ὑπ(ὲρ) ἐνορμίο(υ) τοῦ Παῦνι καὶ
5 Ἐπεὶφ καὶ Μεσορὴ τοῦ Mai—Aug. 185.

[ἐνεσ]τῶτος κε ϛ //
Μεσορὴ ἐπαγομ(ενῶν) γ̄. 26. Aug. 185.

4 *παυνι και* undeutlich.

---

*275 Leyden 459.

κϛ ϛ // Ἀθὺρ ιδ̄ διέγρ(αψεν) 10. Nov. 185.
Πετε . . . τ Ὥρου ὑπ(ὲρ) γε(ωμετρίας)
φοι(νικῶνος) γενή(ματος) κε ϛ [ὀν]ό(ματος) Ἀμμ(ωνί)ου (?) 184/185.
Ψεντουῶρις τὸ δ̄ δραχ(μὰς)
5 δύο / ϛ β δι' ἐμοῦ (sic) Ἀμενώθ(ου) (?).
Τῇ [α(ὐτῇ)] ἡμ[έρᾳ] διέγρ(αψεν) ὑπ(ὲρ) . . . . .
φοι(νικῶνος) γεν(ήματος) κε ∟ ὀνό(ματος) Ἀμμ(ωνί)ου (?) Ψεν-
τουώριο(ς) δραχ(μὴν) μίαν τριώβολ(ον) 184/185.
ἡμιόβ(ολον) / α ⊂ ∠' . Δι' ἐμοῦ
10 Ἀμενώθ(ου) (?) βοηθ(οῦ).

Leemans II Taf. CCXL.

4 lies: *τὸ τέταρτον*. — 6 Schluss *γεομ(ετρίας)?*

---

276 Syene. — Turin 16.

Νεμώνιος Σωκράτ(ους) καὶ Σωκ(ράτης)
Σαραπίωνος πράκ(τορες) ἀργ(υρικῆς) Σοή-
νης δι' ἐμοῦ Αἰβουτίου Σερήνου
βοηθ(οῦ). Διέ(γραψεν) Τεπ̣λᾶνις ὑπ(ὲρ) προσ-
5 όδων φοινίκ(ων) γενήμ(ατος) κζ ϛ 186/187.
ὀνόμ(ατος) Σανσνῶτ(ος) // χο /////
Παψενχνούμεως ἀπο
[. . .] εις τὸ ιϛ̄ ////. ∟ κη /
Ἁδριανοῦ ιδ̄. 11. Dez. 188.

Lumbroso, Atti dell' Acad. d. scienze di Torino IV. 1869. 704 ff. No. 3.

1 *νεμωνιος*] *Ἀμμώνιος Lumbroso*. — 2 *σαραπιωνος*] *(παραγι)βωνος Lumbroso*. — 3 *νης* (*Φαρμοῦθι β οντ? . . .*) *Σερήνου Lumbroso*. — 4 *τεπ̣λανις*] *Τα . . . . ς Lumbroso*. — 5 *γενημ κζ ϛ*] . . . . . . *Lumbroso*. — 6 *ονομ Lumbroso*. — 8 ////. ∟ *κη* / fehlt bei *Lumbroso*.

---

277 Berlin 7.

Παχνοῦβ[ις καὶ . . . . . .]

μισθ(ωταί) εἴδου[ς ὁρμοφυλακίας].
Διέγρ(αψεν) Πᾶρις [. . . .]
Ὥρου μη(τρὸς) Τ[. . . . ὑπ(ὲρ) ἐνορμίου τοῦ]
5 Παῦνι το[ῦ ἐνεστῶτος]
χη L // [. . . . .] 187/188.

---

278 Elephantine. — Louvre 7188.

Μάρκος Ἄννιος Νεμωνια-
ν[ὸ]ς πράκ(τωρ) ἀργ(υρικῆς) Ἐλεφαντ(ίνης).
Διέγρ(αψεν) Ἁρπαῆσις Παναπώτε-
ως μητ(ρὸς) Τρεμαῶτος ὑπ(ὲρ)
5 μερισμ(ῶν) κθ L σπ̣ . . ελω̣ν̣ (?) 188/189.
=∠χ°, λ L στατίωνος 189/190.
ποταμοφυλακ(ίδος) καὶ ἄλλων
ἔργων ς β—. L λ Μεχεὶρ
ιε̄. 9. Febr. 190.

---

279 British Mus. 14022 (5819 i.).

[. . . . .] ν̣ [. . . . .
[. . . . .] . . . . . [. . . .
[. . . . . .] —ς ρ. L γ̄ Αὐτοκρ[άτορος 194/195.
[Σεπτι]μίου Σεουήρου Πετρίνακο[ς . . .
5 Ἰούλιος Φρόντων σεσημίωμαι.

Birch, Proc. SBA. V. 168.

1 *ε Birch.* — 2 *μας Birch.* — 3 L γ̄ *αυτοκρ*] L γ̄ *Σεουηρου Περτινακο(ς) Birch.* — 4 fehlt bei *Birch.*

---

280 Turin 20.

Δι . . . . μη . [. . . . .]
λαο(γραφίας) ζς Λουκίο[υ Σεπτιμίου] 198/199.
Σεουήρου Εὐσεβο[ῦς Εὐτυχοῦς]
καὶ Μάρκου Ἀν[τωνίνου Σεουήρου]
5 Σεβαστῶν δραχ(μὰς) . [. . . . . . .]
L ζ // Φαμ[εν]ὼθ [. .] Febr./März 199.

Lumbroso, Atti dell' Acad. d. scienze di Torino IV 1869. 704 ff. No. 7.

1 *δι . α . τμη . Lumbroso.* — 2 *ασσ . και . . Lumbroso.* — 3 . . .

η . οχ . ας . σ . . Lumbroso. — 4 *αν] Αὐρη- Lumbroso.* — 5 *λίου Ἀντωνίνου χτ? Lumbroso.* — 6 ∟κγ *Φαμενὼθ . α . Lumbroso.*

281 Elephantine. — Louvre 7187.

[. . . . .]ς Διδύμο(υ) καὶ Ἑρμόδωρος Σωτ πρ(άκτορες) ἀργ(υρικῆς) Ἐλεφ(αντίνης).
[Διέγρ(αψεν) Παχνο]ῦβις Ἰήβεως ὑπ(ὲρ) τι(μῆς) δη(μοσίου) φοί-(νικος) γ(εν)ή(ματος) κ∫ — 211/212.
[δραχ(μὰς) ἓξ τετρώ]βολ(ον) ∫ς F. ∟κα Μάρκου — 212/213.
[Σεουήρου Ἀν]τωνίνου Καίσαρος τοῦ κυρίου
5 [. . . . .] (2. Hand:) Μ . . . . . σε . . μ . . . .

5 Schluss: *σεσημίωμαι?*

***282** Bankes.

Παχνοῦβις Ψενχνούβεως μητ(ρὸς) Θιναυ·
Βιήνχι Παπρεμίθου χαίρειν.
Ὁμολογῶ ἔσχον (sic) παρὰ σοῦ ἀφ' ὧν
μοι ὀφίλεις (sic) χειρόγραφον ὑπὲρ τό-
5 κου ∫ιϛ καὶ ὑπὲρ κεφαλαίου
ἄλλας ∫μ̄. ∟ϛ̄ // Αὐτοκράτορος
Καίσαρος Μάρκου Αὐρηλίου
[Σεου]ήρου τοῦ κυρίου Ἐπεὶφ κ̄. — 14. Juli 227.

Dobree, Miscellaneous Notes etc. No. 1.

4 ergänze: *κατὰ χειρόγραφον.* Vgl. No. 240. — 8 der Schreiber hat hinter *Σεουήρου „Ἀλεξάνδρου“* ausgelassen, wie in 4 *κατὰ.* An einen anderen Kaiser als an Severus Alexander scheint mir hier nicht gedacht werden zu können. — Eine Privatquittung.

***283** Wien. — Ob dies Ostrakon aus Elephantine oder aus Theben stammt, geht aus Wesselys Publication nicht hervor.

[Κύρι]λλος Διογ[ένους πρᾱ ἀργ . . . . .]
[διὰ] Μόσχου βοηθοῦ ἀγ[αθῇ]
τύχηι διέγραψεν [. . . .
[. . .] μούτιος μητ(ρὸς) Τιν[. . . .
5 ὑπὲρ μερισμο[ῦ ζ∟ Μάρκου] — 227/228.
[Σεουήρο]υ Ἀλεξάνδρου [Καίσαρος]
[∫]ιθ ∠'. ∟ζ [Αὐτοκ(ράτορος) Καίσ(αρος) Μάρκ(ου)]
[Αὐρηλ(ίου) Σ]εουήρου [Ἀλεξάνδρου]
[Εὐσεβοῦς Ε]ὐτυχ[οῦς Σεβαστοῦ]

K. Wessely, Wien. Stud. VIII. 118.

2—3 wenn *ἀγαθῆ τύχηι* wirklich dasteht, so ist dies die einzige Verwendung der Formel in diesem Zusammenhange. — 4 [*αρ*]*μοί-τιος Wessely.* — 7 fraglich, ob für die lange Titulatur Platz genug ist.

Von 284—294 sind diejenigen Quittungen über Geldzahlungen aus Elephantine und Syene zusammengestellt, die nicht genauer datirbar sind.

284 München.

]. Παμ . [. . . .
ου βοηθ(οῦ). Δ[ιέγραψεν
ὑπ(ὲ)ρ] γεομετ(ρίας) φοι(νικῶνος) γενή[ματος
υ Καίσαρος τοῦ κυρίου . [

---

285 Syene. — Berlin 325.

Ἀτπεχνοῦμις Παπρεμίθου
ἐν κλήρωι (sic) καὶ Κορνῆλις (sic) Σαρα-
παμὼν γενό(μενοι) πράκτ(ορες) ἀργ(υρικῆς) Σοή(νης). Διέγρ(αψεν)
Παπρεμίθης Λάξος ὑπ(ὲρ) τιμ(ῆς) δημ(οσίου)
5 [φ]οίνικ(ος) καὶ τέλ(ους) ὀνό(ματος) Χαερεχνού-
[μιος] Πετορζμ[ήθιος . . . .] β ς ἄλ(λας) δραχ(μὰς)
[. . . . .]υ [. . Ἁ]δριαν-
[οῦ . . . .]

7 ungewiss, ob mit *Ἁδριανοῦ* der Name des regierenden Kaisers oder der Monatsname gegeben ist.

---

286 Elephantine. — Berlin 323.

Ἀ . . π . ος Διδύ(μου)
καὶ Ἀμῶνις πράκ(τορες)
ἀργ(υρικῆς) Ἐ(λ)εφ(αντίνης) διὰ βοηθ(οῦ).
Διέγρ(αψεν) Μηνόφιλ(ος)
5 μείζ(ων) Ὀρβ(άειδος) μη(τρὸς) Τισά(τιος)
ὑπ(ὲρ) μερισ(μοῦ) σκοπ(ελ . . . .) ιβ ς
ς δ, καὶ Ἁρπ(αῆσις) υἱὸς
ὑπ(ὲρ) μερισ(μοῦ) σκοπ(ελ . . .)

ιβ𐅵 ς δ. ∟ιβ //
10 Μεχ(ὶρ) ιζ. 11/12. Febr.
Darauf folgt eine Zeile Demotisch.

E. Revillout et Wilcken, Rev. Egyptol. VI.

1 Anfang unsicher; früher las ich *Λύσιππος*.

Da *Μηνόφιλος* aus der Zeit des Antoninus Pius und Marcus bekannt ist, so wird das 12. Jahr auf einen dieser beiden Kaiser zu beziehen sein.

---

287 Elephantine. — Turin 19.

Παπρεμίθη (sic) Ἀμωνίου
καὶ οἱ σ(ὺν αὐτῷ) πρ(άκτορες) ἀργ(υρικῆς) Ἐλεφ(αντίνης). Διέγρ(αψεν)
Πανακότις (sic) Πα . . . σμητ
ὑπ(ὲρ) μερισμοῦ στατίω(νος) καὶ
5 ποτα(μοφυλακίδος) ιθ𐅵 ςα [. . . .]
[. . . . . . .] . . [. . . . .]

Lumbroso, Atti dell' Acad. d. scienze di Torino IV. 1869. 704 ff. No. 6.

1 *αμωνιου*] *Ἀμώσιος Lumbroso.* — 3 *Παναποτες* (*Καλασιρισ?*) *μητ Lumbroso.* — 4 *ὑ(πὲρ) μερισμὸν . . . . . . Lumbroso.* — 5 *πᾶ ιθ𐅵 ς. . Lumbroso.*

---

288 Syene. — British Mus. 14175 (5819m.).

Ἀπολλῶνις Ἀμμωνίου καὶ Σαραπ(. . . . .) Ἱππάλου
πράκ(τορες) ἀργ(υρικῆς) Σοή(νης). Διέγρ(αψεν) Ἁρπα . εσμῆτ(ις) // ὑπ(ὲρ) τι[μ(ῆς)]
δημ(οσίου) φοί(νικος) γενή(ματος) δ𐅵 ὀνόμ(ατος) Ταχουμ//.ο..[..]
καὶ Τιθοήους Ταχνούβ(ιος) δραχ(μὰς) πέντε ὀβολ(όν)
5 /ςε —. ∟ε // Παοῖνι (sic) κη. 22. Juni.

---

289 früher Wiedemann, jetzt Berlin 4166.

[. . . . .]γερ καὶ Παχνῦμις (sic) Παταχῆμις
[. . . . . . Διέγ]ραψ(εν) Ἁρπαῆσις Πανακῶ-
[τεως μητ(ρὸς) Σεν]παπρεμείθου ὑπ(ὲρ) μερισ-
[μῶν ια∟ δρα]χ(μὰς) τρεῖς ὀβολ(οὺς) δύο χαλ-
5 [κοῦν /ςγ=] α/χ. ∟ια //
[. . . . . .]

Wiedemann, Proc. SBA. VI. 207.

1 γερ] τηρ (= [Σω]τηρ) *Wiedemann.* — 1 παταχημις] Παταχηου *Wiedemann.* — 2 πανα πω] Πανώπ[εως] *Wiedemann.* — 3 παπρεμειθου] Παπρεμιθ *Wiedemann.*

Vielleicht ist nach No. 265 und 266 in 1 zu ergänzen [*Αἰβούτιος Νί*]γερ κτλ. Dann würde das Ostrakon in das 11. Jahr des Marcus zu setzen sein.

---

290 Syene. — Louvre 7204.

Ἰούλιο[ς] ////////
καὶ Λεωνίδης Ερ////
μισθ(ωταὶ) ἱερᾶς πύλ(ης) Σοή(νης) δι' ἐ-
μοῦ Μάρκου βοηθ(οῦ). Διέγρ(αψεν)
5 Βιῆγχις // μητ(ρὸς) Ταναπ(ώτιος) ὑπ(ὲρ) λαογρ(αφίας)
λη ιε∟ ἄλλας δραχ(μὰς) ὀκτὼ /ςη.
∟ιζ // Τῦβι α. 27/28. Dec.

---

291 Syene. — Berlin 3.

Ἀμμώνιος Διδύμου καὶ οἱ σὺν αὐτ(ῷ) ἐπ(ιτηρηταὶ) ἱερᾶς
πύλ(ης) Σοή(νης) δι' ἐμοῦ Μάρκου Ἀννίου Νεμωνια-
ν[οῦ] νεωτ(έρου) βοηθ(οῦ). Δι[έγρ](αψεν) Θινψανσνὼς Πετορ-
ζ(μήθιος) ὑπ(ὲρ)
τοῦ πατρὸς [Πετορ]ζμήθου μητ(ρὸς) Θινψανσνῶτ(ος)
5 χειρωναξίου τοῦ δς δραχμὰς ὀκτὼ ὀβολ(οὺς) δ[ύο]
/ςη=. ∟ε // Παῦνι ιθ.

---

292 Elephantine. — Louvre 7185.

Σανσνὼς Πα[πρε]μείθου καὶ οἱ λοιπ(οὶ) πρ(ά)κ(τορες)
ἀρ(γυρικῆς) Ἐλ[ε]φ(αντίνης). [Δι]έγ(ραψεν) Ἀτπῆς Καλασείριος
ὑπ(ὲρ) ἐν[ο]ικ(ίου) οἰκ(ιῶν) γ θς ὀνόμ(ατος) Αρι . . η .
Σα///ίσιο(ς) [ς]δ—𐅵.
5 ∟ι // Ἀθὺρ κε. 21/22. Nov.

---

293 Elephantine. — Louvre 15 (N 686).

[. . . . . . .] καὶ Διονυσόδ(ωρος) Σερή[νου]
[καὶ . . . . . .]παχ καὶ οἱ λοιπ(οὶ) πράκτορε[ς]
[ἀργυρ]ικ(ῆς) καὶ σιτικ(ῆς) Ἐλεφαντίνης. Διέγρα-
ψεν Μενεὺς καὶ ὁ τούτ(ου) θεῖος Ψάεις καὶ
5 ὁ τούτ(ου) ἀδελφὸς Πμούεις ὑπ(ὲρ) μερισμο(ῦ)

ποταμοφυλακίδων καὶ στατίωνος
καὶ πλοίου πρετωρίου . . . ζ𐅵 ϛαχ.
∟ζ // Ἐπεὶφ κ̅γ̅. Δ(ιονυσόδωρος?). 17. Juli.

Fröhner No. 23 (Rev. Arch. NS. XI. 435).

1 διονυσο^δ] *Διόνυσος δ(ιὰ) Fröhner*. — 4 das *ϑ* in *ϑεῖος* (Oheim) sehr eckig; *σιειὸς* (fils?) *Fröhner*. — 5 *μερισμ^ο*] *μερισμῶ(ν) Fröhner*. — 7 hinter *πρετωρίου* vielleicht *λαμ*, für *λαμ(προτάτου)* zu lesen; *Ἄμμ(ωνος?) Fröhner*. — 7 ζ𐅵 ϛαχ] *δρ(αχμὰς) ρα' χρ(υσᾶς) Fröhner*. — 8 Schluss: das *δ(?)* fast kreisförmig; *ο Fröhner*.

---

294 Syene. — Berlin 343.

Σαραπίω(ν) . . . καὶ Περσι . . . . . πράκτ(ορες) ἀργ(υρικῆς)
καὶ σιτικ(ῆς) Σοή(νης). Διέγραψ[ε]ν ////////// . ν . . .
. ην /////ς𐅵 . . . . χ ////////// ν . . .
κατὰ μέρος ///////////////////// οι
5 π . . . . νος //// τ ////////// . .
τοῦ ε𐅵 κζ // μ //////

II. Quittungen über Naturallieferungen.

***295** Syene — Auf der Innenseite desselben Ostrakon steht No. 1. — Leyden 453[a].

Ἔτους κε Παχὼν
εἴσμε(μέτρηκεν) εἰς τὸν ἐν Συ(ήνῃ) θη(σαυρὸν)
εἰς τὴν ἐπιγρα(φὴν) τοῦ αὐ(τοῦ) ∟
ὑπὲρ τοῦ τόπου Βιῆγχις
5 Πετενεφώτου πυροῦ ἀρ(τάβας)
τρεῖς ἥμισυ /+ γ∟.
Ἁρτεμῆς σιτολόγο[ς].
—. δ.

Reuvens, Lettres à Mr. Letronne III. 56 (danach CIGr. 4862b. A.); Leemans II. Taf. CCXXXIX (danach Wilcken, Jahrb. d. Ver. v. Altertumsfr. im Rheinl. LXXXVI. 241.)

2 εισμ^ε] *εἰς με(τάσχισιν?) Reuvens*. — 2 *ϑη*] *ϑύ(λακον?)* = bourse

Reuvens. — 6 + die Sigle für *πυρου̃; αρτ. Reuvens.* — 8 ∸ (die Sigle für Artabe) δ] . . . *Δ Reuvens.*

Aus ptolemäischer Zeit (vgl. No. 1).

---

296 Syene. — Früher Wiedemann, jetzt Berlin 4168.

Οὔλπιος Κερεᾶλις καὶ Δομ[ίτιος]
Δομιτίου μισθωτ(αὶ) ἱερᾶς π[ύλ(ης) Σοή(νης) διὰ]
Μινουκίου Νίγερος (sic) βο[η]θ(οῦ). [Ἐμέτρησεν]
Ταμῦτις ὑπὲρ τρίτω[. . . . . . .]
5 π . . ι· ιζ∫ ὀνό(ματος) Π[. . . . . .] 153/154.
ματίου ἕκτον δ[ωδέκατον /]
ματ(ίου) ς' ιβ. ∟ι[ζ Ἀντωνίνου]
Μεσορὴ ἐπα[γομενῶν . . .] Aug. 154.

Wiedemann, Proc. SBA. VI. 208.

1 *Δω[λιπιος Wiedemann.* — 2 *Δωλιπιου Wiedemann.* — 3 *Πηλιου και Ουνιπιοθ βοη[θων Wiedemann.* — 4 *Ταμισις Τπιτριτω[νος υπερ μερισμων Wiedemann.* — 5 *πακ‾ ιζ∫ ονο‾ Π . . . . . Wiedemann.* 6 über das Mass vgl. Einleitung. — 7 *μητ ∫ιβ∟ . . . . . Wiedemann.* — 8 *μετρ . . επα . . . . Wiedemann.*

---

297 Syene. — Louvre 5.

Τιθοητίων καὶ Στέφανος
ἐπιτηρηταὶ ἱερᾶς πύλης
Σοήν(ης) διὰ Μάρκου Ἀννίου
Νεμωνιανοῦ. Ἐμέτρησεν
5 Μηνόφιλος ὑπ(ὲρ) γ̄ νομ μυροβ(αλάνων)
γενή(ματος) η∟ καὶ θ∟ καὶ ι∟ 167/168. 168/169. 169/170.
εἰς τὸ γ̄ [ὀνόμ(ατος)] Ἁρπαῆσις Π[.]-
χ . ῡ ἀπ(ὸ) ματ(ίων) ζ̄ τὸ ἕκτ[ον].
∟ια Ἀντωνίνου
10 Καίσαρος τοῦ κυρίου
Τῦβι η̄. 3. Jan. 171.

7 *ονομ* verwischt. — 9 dass mit *Ἀντωνινου* hier Marcus gemeint ist, zeigen die folgenden Nummern.

---

298 Syene. — Louvre 13. (N 690).

Τιθοητίων καὶ οἱ σὺν αὐτῷ ἐπι-
τηρηταὶ ἱερᾶς πύλης Σοήνης διὰ

Μάρκου Ἀννίου Νεμωνιανοῦ ἀπαι-
τητοῦ. Ἐμέτρησεν Παναπῶτις
5 Ἀμμωνίου ὑπ(ὲρ) γ̄ νομ μυροβ(αλάνων)
γενήματ(ος) ιβ∟ ὀνόματ(ος) — 171/172.
Πετεπτεσῆτις Πουήρεως τὸ ἐπι-
βάλλον σοι μέρος. ∟ιγ Αὐρηλίου
Ἀντωνίνου Καίσαρος τοῦ κυρίου
10 Φαμενὼθ ϛ̄. — 2. März 173.

Fröhner No. 32 (Rev. Arch. NS. XII. 32).

3 *νεμωνιανου*] *Ἀμμωνιανοῦ Fröhner.* — 4 *εμετρησεν παναπωτις*] *Σμήρης Ἐπειανάπωτις Fröhner.* — 5 *γ νομ*] *γν ὁλ(κῶν)* = 53 pesées *Fröhner.* — 7 *Πετεπτέτην Ἐπουηρέως τοσοῦ[το . . . . .] Fröhner.* — 8 *βαλλον σοι*] *Βαγλονσοὶ Fröhner.*

---

299 Syene. — Paris Bibl. Nat. Suppl. Gr. 719.

Τιθοητίων καὶ οἱ σὺν αὐ[τῷ ἐπι-]
τηρηταὶ ἱερᾶς πύλης Σοήνης [διὰ]
Μάρκου Ἀννίου Νε[μ]ωνιανοῦ ἀπ[α]ι-
τητοῦ. Ἐμέτρησεν Θιμεαοὺς Πετορ-
5 ζμήθου ὑπ(ὲρ) γ νομ μυροβ(αλάνων) γενήματ(ος)
ιβ∟ ὀνόματ(ος) Ἀτπεχνοῦμις Ψεν- — 171/172.
παιᾶτος ἀπ(ὸ) ματ(ίου) α𐅵 τὸ ἐπιβάλ-
λον σοι μέρος. ∟ιγ Αὐρηλίου
Ἀντωνίνου Καίσαρος
10 τοῦ κυρίου Φαμενὼθ ////
ζ̄. — 3. März 173.

K. Wessely, Wien. Stud. VII. 74.

3 *νε[ωνιανου απ[ι*] *ηγεμωνιανου απ Wessely.* — 4 *τη το γεομετρηθεν θιμψαους πετορ Wessely.* — 5 *γ νομ μυροβ*] *γεομ αγρου Wessely.* — 6 *ονοματ ατπεχνουμις*] *ο παμεριτ πεχνουμις Wessely.* — 7 *παιατος α)* — corr. aus *υ)* — *ματ α𐅵* (= 1½)] *πατωτος αμματ* (= *ἄμματα*) *α𐅵 Wessely.* — 10 hinter *Φαμενὼθ* Correctur.

---

300 Syene. — München.

Μα . . . [. καὶ οἱ σὺν αὐτῷ]
ἐπιτηρητα[ὶ ἱερᾶς πύλης Σοήνης]
δι' ἐμοῦ Μ[άρκου Ἀννίου Νε]-

μωνιανοῦ ἀ[παιτητοῦ. Ἐμέ-]
5 τρησεν [Π]ουῆρ[ις Πετορζ-]
μῆτις ὑπ(ὲρ) γ̄ νο̄ μ[υροβ(αλάνων) γενή-]
ματ(ος) ιε L ἐνόμ(ατος) Πα[. . . . .] — 174/175.
καὶ ἀδελφῶν τὸ ἐπιβ[άλλον]
σοι μέρος. L ιϛ Μεσορ[ὴ . .]. — Juli/Aug. 176.

---

301 Syene. — Berlin 1.

Πκῦλις Προμπιούθης καὶ Πετορζ(μῆθις)
Ἑρμίωνος διὰ Ἀπολλωτᾶ καὶ Ἁτρῆ (sic)
πρακ(τόρων) σιτικ(ῆς) Σοή(νης). Ἐμέτρησ(εν) Πε-
τορζμῆθις Πετορζ(μήθιος) τοῦ Βοὺκ
5 ὑπ(ὲρ) μερισμοῦ ποι(μένων?) πυροῦ ἀρτάβ(ας)
ἓξ /+ ⁻.⁻ ϛ λημ(μάτων) ιγ𐅵.
L ιγ . . . Παχὼν κβ
(2. Hand:) Ἁτρῆς σεσημεί(ωμαι).

7 hinter *L ιγ* äusserst matte Schriftspuren. Vielleicht haben da nur die beiden Striche // gestanden, die häufig hinter Ordinalzahlen gesetzt werden.

III. Quittungen über Zahlungen mit ungenanntem Zahlungsmittel.

***302** Syene. — Lausanne, ancienne collection de Mr. Marcel.

Ἀντώνιος Μαλχαῖος ὁ ἀσχολού-
μενος τὴν ὁρμοφυλακίαν Σοή-
νης Πετοσορχω . . . .
χαίρειν. Ἔχω παρὰ σοῦ τὸ ἐν-
5 όρμιον ἀγωγίων ὧν ἐ-
ποιήσου τὰ ἀπὸ Θὼθ <ἕως> — Aug./Sept.
Χοίαχ λ̄ τοῦ <ι>ᾱ ἔτου- — 27. Dec. 107.
ς Τραιανοῦ Καίσαρος
τοῦ κυρίου
10 Χοίακ λ̄. — 27. Dec. 107.

Aus Fröhners Papieren.

3 *Πετοσόρχω Πατιεωπ* (?) *Fröhner.* — 6 *ἕως* vermuthe ich nach

den nächsten Nummern; *ἐον Fröhner.* — 7 *τοῦ* ⟨*ά Fröhner*; die erste Zahl vielleicht verschrieben; es kann wohl nur *ι* gemeint sein.

***303** Syene. — Bankes.

Ἀντώνιος Μαλχαῖος ὁ ἀσ[χο]λού-
μεν[ος τὴ]ν ὁρμοφυλακίαν Σοήνης
Ἁρπασῆσι (sic) Βιένχ[ιος] (sic) χαίρειν. Ἀπέ-
χω πα[ρ]ὰ σοῦ τὸ ἐνό[ρμιον ἀγωγί]-
5 ων ὧν [ἐ]ποι[ήσου τὰ] ἀπὸ Φαῶφι [. ἕ]-
ως Χοίακ ᾱ τοῦ ι[.] L Τραιανοῦ
Ἀρίστου Καίσαρος τοῦ κυρίου
Χοίακ ᾱ.

Dobree, Miscellaneous Notes etc. No. 7.

3 lies: *Ἁρπαῆσι Βιήνχ[ιος]*.

Das Ostrakon ist nicht vor 114 geschrieben, da Trajan schon *Ἄριστος* heisst.

---

304 Syene. — British Mus. 5790.

Ἀντῶνις (sic) Μαλχαῖς (sic) ὁ ἀσχολούμενος
τὴν ὁρμοφυλακίαν Σοήνης Ἁρπαῆσι
χηνοτρόπῳ χαίρειν. Ἀπέχω παρ' ἐσοῦ (sic)
τὸ ἐνόρμιν (sic) ἀγωγίων ὧν ἐποιήσου τὰ ἀ-
5 πὸ Χοίακ λ̄ ἕως Φαρμοῦθι λ̄ τοῦ ιη L 26. Dec. 114 - 25. April 115.
Τραιανοῦ Ἀρίστου Καίσαρος τοῦ κυρίου
Φαρμοῦτι (sic) λ̄. (2. Hand:) Ἀντώνιος Μαλχαῖος 25. April 115.
ἀπέχω.

Young, Hierogl. II. Taf. 53. I (danach O. Müller, Götting. Gel. Anz. 1827. 1529 ff., CIGr. 4866 und Fröhner No. 6 Rev. Arch. NS. XI. 427 ff.)

5 *φαρμουθι* corrigirt aus *φαρμουτι*; dahinter *λ̄*] *ᾱ Fröhner.*

THEBEN.

I. Quittungen über Geldzahlungen.

305 Berlin 1153.

> ∟ϛ Φαμενὼθ ῑα
> ἁλικῆς διὰ Σωστράτου
> Πιβέλφις ⊢ α C 2.
> Τανεχᾶτις ϝ 2.
> Hierauf 2 Zeilen Demotisch.

Revillout et Wilcken, Revue Egyptol. VI. 11.

Unter No. 305—316 sind einige formell und sachlich zu einander gehörige Quittungen zusammengestellt, die wegen der Alterthümlichkeit der Schrift, der Sprache (vgl. *Θαὺτ*, *Παχὼνς* etc.) und des Schema's dem III. Jahrh. vor Chr., z. Th. mit Sicherheit wegen der hohen Regierungsjahre (28—34) der Zeit des Philadelphos zuzuweisen sind. Genaueres in der Einleitung.

---

306 früher Wiedemann, jetzt Berlin P. 3998.

> ∟ια Φαμενὼθ ιβ
> ἁλικῆς διὰ Σω-
> στ[ρά]του
> Ἰμούθης ϝ.
> 5 .////.νοῦμις ⊣ 2.

5 *Π[ετεχ]νοῦμις?*

Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

307 früher Wiedemann, jetzt Berlin.

ꟾιγ Θῶυθ ϛ̄
ἁλικῆς διὰ Σωστράτου
Παβοῦχις [.....]

Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

308 Louvre 8109.

ꟾιγ Παχὼν η̅ ἁλι-
κῆς .... ων Σωστρά-
του . ιου γρ Λαλη-
// ιος ϝ 2.

Hierauf 1 Zeile Demotisch.

Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

309 Louvre (ohne Nummer, als ich es copirte).

ꟾιδ Ἐπεὶφ κβ
ἁλικῆς διὰ Σωστρά-
'Αμωνίου
του Ψενχῶνσις . .

E. Revillout et Wilcken, Revue Egyptol. VI. 10.
Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

310 Berlin 453.

ꟾκ Παχὼν ζ̄
ἁλικῆς διὰ Σωστρά-
του. Ἑριεὺς ϝ.

Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

311 Berlin 1564.

ꟾκγ Φαρμοῦ[θι . .]
ἁλικῆς διὰ Σωστρά-
του ////////.
Πεκῦσις ϝ.

Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

312 Berlin 4398.

ꟾκη Τῦβι ι̅δ̅
πέπτωκεν ἁλι-
κῆς εἰς τὸν ἐνι-

αυτὸν διὰ Πιλι-
5 ανοῦς Καρνι . .
. ικ . . ς ⊢ γ.
Ταβῶς ⊢ α.

6 und 7 ⊢ Sigle für *δραχμή*.
Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

313 British Mus. 5829.

∟λ Παχὼνς $\overline{κζ}$
πέπτωκεν ἁλι-
κῆς διὰ Κλειτάν-
δρου Χι . . . . υν
5 . . . . ⊢ α.
Hierauf 2 Zeilen Demotisch.

5 ⊢ Sigle für *δραχμή*.
Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

314 Berlin 4313.

∟λ Θαὺτ $\overline{ιγ}$ πέπτω-
κεν ἁλικῆς διὰ Πτολε-
μαίου Τιτοὶς Ἁρπαίσιος ϝ ϲ.
Hierauf 3 Zeilen Demotisch.

3 lies *Τιθοῆς Ἁρπαήσιος.*
Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

315 Berlin 4406.

∟λδ Θαὺτ $\overline{ε}$
Παυβάστις ἁλικῶν
διὰ . . . βαρου ϝ.
Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

---

316 Berlin 4397.

∟λδ Παχὼνς
$\overline{κη}$ πέπτωκεν
ἁλικῆς διὰ Πιλι-
ανοὺς
5 Ταυῆς ϝ.
Hierauf 1 Zeile Demotisch.
Aus dem III. Jahrh. v. Chr. Vgl. No. 305.

317 Diospolis magna. — Berlin 285.

Recto. Ἔτους α Φαῶφι π̄ τέ(τακται) ἐπὶ τὴν
ἐν Διὸς πό(λει) τῆι με(γάλῃ) τρά(πεζαν), ἐφ' ἧς Μέμνων(?),
Ἀπολλώνιος χαλκοῦ διακοσίας / σ.
. . . .
Verso. (2. Hand:) Τοῦ Σικῶνος υἱοῦ
. . . α . κω κ . . . ν

Aus ptolemäischer Zeit.

1 und 2 *τέ(τακται)* und *με(γάλῃ)*, hier wie auch gewöhnlich im folgenden, mit der Sigle ᒷ (Var. ꓰ) geschrieben. Vgl. Einleitung.

318 Diospolis magna. — Louvre 8537.

Γοργίας Ζήνωνι λογευτῆι Διὸς πό(λεως)
βαλνήω(ν) (sic) γ ∟ χαί(ρειν). Ἔχω παρὰ σοῦ
Ἀσηπιοδώρωι (sic) γ·(?) εἰς τιμ(ὴν) ἐλ(αίου) χαλκοῦ
δραχ(μὰς) τρειςχιλίας / γʹ. ∟γ Θῶ(υτ) κ̄ζ̄.

Aus ptolemäischer Zeit.

2 lies *βαλανείω(ν)*. — 3 lies *Ἀσ(κλ)ηπιοδώρωι*. — 3 *γυ* oder *γω*.

319 Hermonthis. — Berlin 508.

Ἔτους δ Μεχεὶρ κ̄ε̄ τε(τάχαται)
ἐπὶ τὴν ἐν Ἑρμ(ώνθει) τρά(πεζαν), ἐφ' ἧς Ἀμμώ(νιος),
ἐννο(μίου) κτη(μάτων) δ ∟ Ἑρμ(ώνθεως) Ἀμμώνιος
καὶ οἱ μέ(τοχοι) διὰ Ὥρου τοῦ
5 Παθώτου τάλαντον ἓν
τετρακισ(χιλίας) ω ϑ / ⲧ α δʹω[ϑ].
Ἀμμώ(νιος) τρα(πεζίτης) ⲧ α ἐ[..] ο.

Aus ptolemäischer Zeit.

4 *μέ(τοχοι)* mit der Sigle ꓰ geschrieben. — 6 *χιλίας* mit der Sigle λ (= *ά* = 1000) geschrieben.

320 früher Wiedemann, jetzt Berlin 3999.

Σαραπίων [. . . .] ωνι χαί(ρειν). Τέ(ταξαι) ὑπὲρ
Ἡρακλείδου τοῦ Ἀπολλω(νίου) εἰς τὸν
τοῦ βασιλέ(ως) χρυ(σοῦν) στέφα(νον) τοῖς παρὰ

Πάτρω(νος) τοῦ πρὸς τῆι συντά(ξει) χα(λκοῦ) ∟δ'
5 τετρακ(οσίας) /δ'υ. ∟δ Παχ(ὼν) δ̄.

Aus ptolemäischer Zeit.
4 ∟ Sigle für *δραχμή*.

---

321 Berlin 480.

∟ε Φαρμοῦθι ϑ̄ τέ(τακται) ἀπο(μοίρας) ε∟
π̣///μω Κόνων Δώρου τῶν
τῶν (sic) ἱερέων Ἀμῶνος (sic) . . . .
//////////////////
/////////
////. .

Aus ptolemäischer Zeit. — Schrift sehr verblasst.
1 ꜫ *απο̄*.

---

322 Diospolis magna. — Louvre 8100.

Ἔτου(ς) ϛ Χοίαχ κ̄ε̄ τέ(τακται) ἐπὶ τὴν
ἐν Δ(ιὸς) πό(λει) τῇ (sic) μεγ(άλῃ) τρά(πεζαν) ἀπομοί(ρας)
ϛ∟ Ἑριεὺς
Ἰμούθου δισχιλίας διακο(σίας) π /β'σπ.
Δ(ιονύσιος) (?) τρα(πεζίτης).
5 β'φκ.
Hierauf 2 Zeilen Demotisch.

Revillout et Wilcken, Revue Egyptol. VI. 7.
Aus ptolemäischer Zeit.

---

323 Berlin 505.

Θεόδωρος Ταυρώκα̣
τῷ ἀδελφῷ χαίρειν.
Ἔχω παρὰ σοῦ τοῦ
∟ϑ Παχὼν ᾱ ἀρχαίων
5 ἱππέων δραχμὰς
ἑκατὸν ὀδώκοντα (sic)
/ρπ.

Aus ptolemäischer Zeit (etwa dem I. Jahrh. v. Chr.)

324 Hermonthis. — Berlin 4294.

῎Ετους ι Φαρμοῦθι ιζ τέ(τακται) ἐπὶ τὴν
ἐν Ἑρμ(ώνθει) τρά(πεζαν) ἐννο(μίου) Τμοντεχ ι ∟ Ποήριος
Πασήμιος ⊼ ἓν χιλίας φ π / ⊼ α ἀ φ π.
Δι(ονύσιος?) τρα(πεζίτης) ⊼ α β' τ μ.

Aus ptolemäischer Zeit.

2 *Τμοντεχ* der Name eines Dorfes. — 2 *ποηριος* corrigirt.

325 Berlin 4399.

∟ ιδ Ἁθὺρ λ πέπτω-
κεν εἰς τὸ ιδ ∟ ἐννο-
μίου Πιτρῆς ∟ εἴκο-
σι / ∟ κ. . ομων.

Aus ptolemäischer Zeit (der älteren).

3 und 4 ∟ Sigle für *δραχμή*.

326 Berlin 4512.

∟ [ι]δ Μεσο(ρὴ) α τε(τάχαται) d ἁλι-
είων (sic) ιδ ∟ Ὧρος καὶ οἱ μέ(τοχοι)
χα(λκοῦ) ε' / ε'. Κέφα(λος) τρα(πεζίτης).
. α.

Aus ptolemäischer Zeit.

1 d Sigle für *τετάρτη* (vgl. Einleitung). — 1—2 lies *ἁλιέων*.

327 Diospolis magna. — British Mus. 12734.

∟ ιε Μεχ(ὶρ) ις τέ(τακται) ἐπὶ τὴν ἐν
Διὸς πόλ(ει) τῆι μεγ(άλῃ) τρά(πεζαν) οἴνου
τέλ(ους) ιε ∟ ἐνακο(σίας) ι / ⥠ ι.
α'.

Aus ptolemäischer Zeit. — Durch ein Versehen ist der Name des Steuerzahlers nicht genannt.

328 Berlin 1560.

Σαραπίων καὶ Σωκράτης
καὶ Ἀπολλώνιος Ὥρωι χαί(ρειν).
῎Εχομεν ἀπὸ τοῦ ἑσταμένου
τέλους τοῦ ιε ∟ χα(λκοῦ) διακοσίας / σ.
5 ∟ ιε Μεσορὴ κθ.

Aus ptolemäischer Zeit.

329 Diospolis magna. — Berlin 1147.

    L κ Ἐπεὶφ ιγ πέπτωκεν
    ἐπὶ τὴν ἐν Δι[ὸς πό(λει)] τῆι με(γάλῃ) τρά(πεζαν),
    ἐφ' ἧς Διόδοτος, νιτρικῆς . . .
    . . . Ψαμῖνις Πα . . . . ος
5   πρὸς ἀργύριν (sic) ἑξήκοντα /ξ × [× ×].
    Ἀρίστων (?) γρ(αμματεὺς) ξ.

Aus ptolemäischer Zeit (der älteren).

5 ergänzt nach 331. Der Trapezit Diodotos (auch 331) scheint nicht schreiben zu können, bedient sich daher eines *γραμματεύς* und unterzeichnet mit den drei Kreuzen. — 5 über *χαλκὸς πρὸς ἀργύριον* vgl. Einleitung.

---

330 Diospolis magna. — Berlin 4336.

    L κα. Ἐπεὶφ τέ(τακται) ἐπὶ τὴν ἐν
    Διὸς πόλ(ει) τῆι μεγ(άλῃ) τρά(πεζαν) εἰς στέφα(νον)
    [τῶ]ν κατοίκων Φίλιππος
    [. . . .]δώ[ρ]ου ///
5   [. . . . . . .] ////

Aus ptolemäischer Zeit.

---

331 Diospolis magna. — Berlin 156.

    L κβ Μεχεὶρ α πέπτωκεν
    ἐπὶ τὴν ἐν Διὸς πό(λει) τῆι με(γάλῃ) τρά(πεζαν),
    ἐφ' ἧς Διόδοτος, βασιλεῖ
    εἰς τὸ κβ L d ἰχθυικῶν ἁλιέων
5   Πικῶτος χα(λκοῦ) . . κ . . ὀγδο-
    [ή]κοντα /π. × × ×.
        Τεὼν γρ(αμματεύς).

Aus ptolemäischer Zeit (der älteren).

4 d Sigle für *τετάρτη*. — 6 über die drei Kreuze des Diodotos siehe n. 329.

---

332 Berlin 283.

    L κβ Φαμενὼθ ιε τέ(τακται)
    κβ L ἀπομο(ίρας) κα . . . ητω
    χιλίας πεντακοσίας εἴκοσι
    πέντε /αφκε, ἐπαρου(ρίου) φ
5   /β' κε. Κέφα(λος) τρα(πεζίτης) β' σλ[.]

Aus ptolemäischer Zeit.

333 früher Wiedemann, jetzt Berlin 4000.

[. . . . . .] θιος Λυσιμάχωι χαί(ρειν).
["Εσχον π]αρὰ σοῦ εἰς τὸ ἐλαιο χρισ / /
[τοῦ Φαρμ]οῦθι χα(λκοῦ) δραχμὰς ἕξ
[/ ϛ.] ∟κϛ Παχὼ[ν . .]

Aus ptolemäischer Zeit.

2 zu *ἐλαιο χρισ / /* vgl. Einleitung.

---

334 Diospolis magna. — Berlin 249.

∟κζ Φαῶφι κδ τέ(ταται) — 144 v. Chr.
ἐπὶ τὴν ἐν Διὸς πό(λει) τῆι με(γάλῃ) τρά(πεζαν),
ἐφ' ἧς . . . . . , τέλος
σκυτέων κζ∟ . . . ν — 144/143.
5 καὶ (?) . . . . . ς χα(λκοῦ) οὗ ἀλ(λαγὴ) ἐνα-
κοσίας πεντήκοντα
πέντε / ⁀ [νε . . . .]

Dieses und die nächsten Ostraka (ausser 336) sind auf Euergetes II. zu beziehen, da er allein unter den hier in Betracht kommenden Königen so viele Regierungsjahre gezählt hat.

5 über *χαλκὸς οὗ ἀλλαγὴ* vgl. Einleitung.

---

335 Diospolis magna. — Berlin 4334.

∟κζ Φαμενὼθ ιζ τέ(τακται) ἐπὶ τὴν [ἐν Διὸς πό(λει)] — 143 v. Chr.
τῆι με(γάλῃ) τρά(πεζαν), ἐφ' ἧς Πτολεμαῖος, τετά(ρτης) ἁλιέων
κζ∟ Σαμβᾶ(ς) οὗ ἀλ(λαγὴ) ὀκτακοσίας ἑξή- — 144/143.
κοντα ἑπτὰ / οὗ ἀλ(λαγὴ) ωξζ. Πτο(λεμαῖος)
5 . / / / / /.

---

336 Berlin 4345.

∟κζ Μεσορὴ ιζ
πέπτωκεν τῆς
πρώτης ἑκξα-
μένου (sic) Πίριζ ϼϲ
5 Νοφέρετ ϼ.

Hierauf 2 Zeilen Demotisch.

Der Schrift und dem Schema nach dem III. Jahrh. vor Chr., also Philadelphos zuzuweisen.

3—4 lies *ἑξαμήνου*.

337 Diospolis magna. — Berlin 4593.

Ἔτους κη Μεσορὴ κ̄ τέ(τακται) ἐπὶ τὴν — 142 v. Chr.
ἐν Δ(ιὸ)ς πό(λει) τῆι με(γάλῃ) τρά(πεζαν), ἐφ' ἧς Πτολεμαῖος,
τετάρτης ἁλιέων κη ∟ Σίμων
οὗ ἀλ(λαγὴ) ⩚ δύο τρισχιλίας ἑξακοσίας
5 τεσσαράκοντα πέντε
/οὗ ἀλ(λαγὴ) ⩚ β γ' χ μ ε.
Π(τολεμαῖος) τ(ρ)α(πεζίτης) ⩚ γ.

---

338 früher Wiedemann, jetzt Berlin 3996.

Ἀδαιος (?) Ἡμ̣ικ . . λωι
χαί(ρειν). Τέ(ταξαι) εἰς τὰς νομὰς
τοῦ κη ∟ χα(λκοῦ) ἀυ. — 143/142.

---

339 Diospolis magna. — Berlin 4491.

Ἔτους κθ Ἀθὺρ δ̄ τέ(τακται) ἐπὶ τὴν ἐπὶ (sic) — 142 v. Chr.
τὴν (sic) ἐν Διὸς πό(λει) τῆι με(γάληι) τρά(πεζαν), ἐφ' ἧς Πτολεμαῖος,
τετρ . . ιας ἁλιέων κθ ∟ Σίμων — 142/141
οὗ ἀλ(λαγὴ) δισχιλίας ἑκατὸν τεσσα-
5 ράκοντα, οὗ ἀλ(λαγὴ) β' ρ μ. Πτ(ολεμαῖος) β' υ ξ.
(2. Hand:) Σίμων . . . νη . η.

---

340 Diospolis magna. — British Mus. 12675.

Ἔτους κθ Μεχεὶρ κθ̄ — 141 v. Chr.
τέ(τακται) ἐπὶ τὴν ἐν Διὸς πό(λει) τῆι μ(εγάλῃ) τρά(πεζαν),
ἐφ' ἧς Πτολεμαῖος, d ἁλιέων
κθ ∟ Σίμων οὗ ἀλ(λαγὴ) πεντα- — 142/141
5 κοσίας ὀγδοήκοντα
/χα(λκοῦ) φ π.
Π(τολεμαῖος) τρα(πεζίτης).
χο.

---

341 Diospolis magna. — Sayce.

Recto. Ἔτους λ Παχὼν κδ̄ τέ(τακται) ἐπὶ — 140 v. Chr.
τὴν ἐν Διὸς πό(λει) τῆι με(γάλῃ) τρά(πεζαν), ἐφ' ἧς
Πτολεμαῖος, ἀπὸ τιμῆς ἁλὸς
χρηστοῦ τοῖς πεζοῖς χα(λκοῦ)

5 ⊼ τρία τριςχιλίας ἑπτα-
κοσιάς / ⊼ γ γ'ψ.
Π(τολεμαῖος) τρα(πεζίτης)
(2. Hand:) Καλλίας γρ(αμματεύς).

Verso. Καλλίου γρ(αμματέως)
πεζῶν.

---

342 Hermonthis. — Berlin 4296.

Ἔτους λ Παῦνι ϛ̄ τέ(τακται) — 140 v. Chr.
ἐπὶ τὴν ἐν Ἑρμ(ώνθει) τρά(πεζαν), ἐφ' ἧς
Ἀπολλώ(νιος), προστί(μου) κθ ∟ — 142/141.
Καλῆς Πιτύλου (?) χα(λκοῦ) οὗ ἀ(λλαγὴ)
5 τριακοσίας λ / τλ
καὶ τούτων τὰ κα(θήκοντα) τέλ(η).

---

343 British Mus. 12634.

∟λα Παῦνι κθ̄ ἔχει Πρωτο-
γένη(ς) παρὰ Παμύτου ἰχθυ-
ικῶν τοῦ Παῦνι ⊢ β ϛ.

Der Schrift nach dem III. Jahrh. v. Chr., der hohen Jahreszahl wegen also der Zeit des Philadelphos zuzuweisen.

3 ⊢ Sigle für *δραχμή*.

---

344 Diospolis magna. — Sayce.

Ἔτους λα Ἐπεὶφ λ̄ τέ(τακται) ἐπὶ τὴν — 139 v. Chr.
ἐν Διὸς πό(λει) τῆι με(γάλῃ) τρ(άπεζαν), ἐφ' ἧς Ἑρμόφιλος,
οἴνου τέλους . . . . . της
ἐνακοσίας ὀγδοήκοντα / ⫪ π.
5 Ἑρμόφιλος τρα(πεζίτης)
ἀν.

Hierauf 3 Zeilen Demotisch.

3 *Παγκράτης?*

---

345 Diospolis magna. — Berlin 504.

Ἔτους λβ Μεχεὶρ γ̄ — 138 v. Chr.

τέ(τακται) ἐπὶ τὴν ἐν Διὸς πό(λει) τῆι με(γάλῃ) τρά(πεζαν),
ἐφ' ἧς Ἑρμό(φιλος), Πόρ(τις) Πόρτις ⩚ δύο
ἑξακοσίας ν

3 lies *Πόρτις Πόρτιος.*

346 Diospolis magna. — Berlin 1559.

∟λβ Παῦνι κ̅γ̅ τέ(τακται) ἐπὶ τὴν ἐν	138 v. Chr.
Διὸς πόλ(ει) τῆι μεγ(άλῃ) τρά(πεζαν) α̅ ἁλιέων	
λβ∟ Ὧρος Λύκου τριακο(σίας) λε	139/138.
/τλε. Κέφα(λος) τρα(πεζίτης).	
5 υ.	

2 lies *τετάρτης ἁλιέων.*

347 Diospolis magna. — Früher Wiedemann, jetzt Berlin 3982.

Ἔτους λε Χοίαχ β̅ τέ(τακται) ἐπὶ τὴν	136 v. Chr.
ἐν Διὸς πό(λει) τῆι με(γάλῃ) τρά(πεζαν), ἐφ' ἧς Ἡρα(κλείδης),	
ἐπιζη παντοπωλῶν Ἡρακλείδη(ς)	
δισχιλίας ἑξακο(σίας) ὀγδοή(κοντα) /β'χπ.	
5 Ἡρα(κλείδης) τρα(πεζίτης).	
γ'ρ.	

348 Diospolis magna. — Sayce.

Ἔτους λϛ Παχὼν ι̅ε̅ τέ(τακται) ἐπὶ τὴν ἐν Διὸς πό(λει)	134 v. Chr.
[τῆι με(γάλῃ) τρά(πεζαν)], ἐφ' ἧς Ἡρα(κλείδης), ἐπιζη παντο-πωλῶ(ν)	
[. . . . .] . ξ . . /⩚β ἁ[. . . . .]	
[ ]ϑ.	

1 *παχων* corrigirt.

349 Diospolis magna. — Berlin 4470.

∟μα Ἀθὺρ κ̅δ̅ τε(τάχαται) ἐπὶ τὴν ἐν Διὸς πό(λει) τῆι με(γάλῃ) τρά(πεζαν)	130 v. Chr.
α̅ ἁλιέων ἑνὸς καὶ μ∟ Νικ[ό]λαος καὶ Θιήρας(?)	130/129.
ὀκτακοσίας ἑξή(κοντα) /ωξ. Ἡρακ(λείδης) τρα(πεζίτης) ἁ / / .	
κ̅ϑ̅ οἱ αὐ(τοὶ) ὀκτακο(σίας) ἑξή(κοντα) /ωξ. Ἡρακ(λείδης) τρα(πεζίτης) ἁ / / .	

2 α̅ Sigle für *τετάρτη.*

350 Hermonthis. — British Mus. 12627.

Ἔτους μδ Μεσορὴ — 126 v. Chr.
τέ(τακται) ἐπὶ τὴν ἐν Ἑρμ(ώνθει) τρά(πεζαν), ἐφ' ἧς Ἡρα(κλείδης),
ἐπαρουρίου μδ∟ Ἀρεν- — 127/126.
δώτης Θοτήους
5 χα(λκοῦ) ∟ χιλίας πεντακοσίας
/∟ ἀφ. Ἡρα(κλείδης) τρα(πεζίτης).
αχε.

351 Hermonthis. — Früher Wiedemann, jetzt Berlin 3977.

Ἔτους μη Μεχεὶρ ιε τέ(τακται) ἐπὶ τὴν — 122 v. Chr.
ἐν Ἑρμ(ώνθει) τρά(πεζαν), ἐφ' ἧς Ἀμμώ(νιος), προστί(μου)
Λυσίμαχος Λυσιμάχου τοῦ
πρότερον γρα(μματέως) τοῦ . . . . . . χ
5 τριςχιλίας /γ' καὶ τὰ καθή(κοντα) τέλ(η).
Ἀμμώνιος τρα(πεζίτης).

352 früher Wiedemann, jetzt Berlin 3980.

∟νβ Φαῶφι ια τέ(τακται) ἀπομο(ίρας) καὶ ἐπαρ(ουρίου) — 119 v. Chr.
νβ∟ Βελτόμμις Περμάμ[ιος] — 119/118.
τριςχιλίας τριακοσίας ξ
/γ' τ ξ.
γ' ψ.

Hierauf 1 Zeile Demotisch.

E. Revillout et Wilcken, Revue Egyptol. VI. 8.

353 Bonn, Ver. v. Alterthsfr. i. Rheinl. (A. V. 1237).

Ἔτους νγ Παχὼ(ν) ιγ τέ(τακται) ἐπὶ τὴν — 117 v. Chr.
ἐν . . τρά(πεζαν), ἐφ' ἧς Ἀμμώνιος, στεφάνου
κατοίκ(ων) Περὶ Θή(βας) Πετεαρπρῆς
Κολφ . . . χα(λκοῦ) διςχιλίας ἑκατὸν
5 ἑξή(κοντα) /∟β' ρ ξ.

Wilcken, Jahrb. d. Ver. v. Alterthsfr. i. Rheinl. LXXXVI. 234 (No. 1).

2 der Ortsname hinter *ἐν* ist mit einer ungewöhnlichen Sigle geschrieben, die aber der für Worte wie *μέτοχος*, *μέρος* etc. (∟) sehr ähnlich ist. Ich möchte sie daher lieber *Με(μνονίοις)* auflösen als *Ἑ(ρμώνθει)*, was ich früher a. a. O. vorgeschlagen habe.

354 Diospolis magna. — Sayce. 101 v. Chr.
∟ ιϛ τοῦ καὶ ιγ Μεσ(ορὴ) ἐπ(α)γ(ομενῶν) ε̄ τέ(τακται) ἐπὶ τὴν
ἐν Διὸς πόλ(ει) τῆι μεγ(άληι) τρά(πεζαν) ἀπομοί(ρας) ιϛ ∟ 102/101.
Ἀπολλώνιος Ἀπολλω(νίου) διὰ Πετεύριος
|χειλίας φκε / ἀφκε.
5 ἀψ.

Das Doppeldatum bezieht sich auf die Sammtherrschaft der Kleopatra III. und des Ptolemäus Alexander.

---

355 British Mus. 12648.
Ἔτους ι Τῦβι κβ̄ τέ(τακται) ἀπομοίρας
δεκά(του) ∟ Λυσίμαχος Ἀπολλω(νίου)
|⊼ τρία ⫪ οε / ⊼ γ ⫪ οε.
χα(λκοῦ) ⊼ γ β'.

Vorausgesetzt, dass dieser *Λυσίμαχος Ἀπολλω(νιου)* derselbe ist, der in 359 etc. genannt wird, so würde das 10. Jahr wohl auf Augustus zu beziehen sein.

---

356 Berlin 158.
Φατρῆς Ἀβώτου τέτακ(ται) ὑπ(ὲρ) ιβ ∟ 19/18.
φοι(νικῶνος) δ' ή λβ́ ξδ́ ⊢ ηϛ.
∟ ιγ Καίσα(ρος) Ἀθὺ(ρ) ιε̄. 11. Nov. 18 v. Chr.
Κέφα(λος) οϛ.
Hierauf 1 Zeile Demotisch.

E. Revillout et Wilcken, Revue Egyptol. VI. 11.

2 der Bruch ($^1/_4 + ^1/_8 + ^1/_{32} + ^1/_{64}$) bezeichnet den Bruchteil einer Arure (Palmenland). — 2 ⊢ Sigle für *δραχμή*.

---

357 Berlin 4713.
Πικῶς Ψεναμού(νιος)
. . . . άντιτ(?) τέτακ(ται)
λαογ(ραφίας) ιγ ∟ ⊢ ι. 18/17.
∟ ιγ Καίσα(ρος) Φαρμ(οῦθι) ϛ. 1. April 17 v. Chr.

---

358 Berlin 4435.
Πετεμενῶφις Πετεκ̄
τοῦ . . λερίου τέτακ(ται) τέλ(ος) ἐμ(βαδικὸν)
ιδ ∟ ⊢ β —. ∟ ιδ Καίσα(ρος) 17/16.
Μεχ(είρ). Jan./Febr. 16 v. Chr.

4 *μεχ* corr. aus *φαω*.

359 British Mus. 12664.

Διαγεγρά(φηκεν) ἐπὶ τὴ(ν) Κεφάλου τράπ(εζαν)
Λυσίμαχο(ς) Ἀπολωνίου ὑπ(ὲρ) κ∟ διο(ι)κ(ήσεως) τιμ(ῆς) 11/10.
πυροῦ ⊢ιγϝϲ, καὶ διὰ Πικῶς (sic) Ἁρ-
. . . νέχθιος ἱερατικ(οῦ) (?) κ∟ . . . [. .]
5 . . . Καίσαρος Φαμενὼ(θ) ι.

2 *διο^κ*. — 4 *ἱερατικ(οῦ)* unsicher.

360 Berlin 4352.

λ̣ολ̣ διαγεγρ(άφηκεν) εἰς τὴν λογείαν
ρας τῇ ἀγορανομίᾳ τοῦ ἐνεσ-
[τῶτος] δύο καὶ εἰκοστοῦ ἔτους Καίσαρος
υ δραχ(μὰς) τέσσαρας /⊢δ.
5 ∟] κβ Καίσαρος Ἐπεὶ[φ . .] Juni/Juli 8 v. Chr.

361 Louvre 7805.

Διαγεγρά(φηκεν) Διατ̣[. . . . .]
α . . . . . λα∟ [. . . . .]
Ἀπολλωνίου [. . . . .]
=ϲ. ∟λα Καί[σαρος . . . .] 1/2 nach Chr.

2 vor λα∟ vielleicht $\overline{μη}$ = *μη(νῶν)?*

362 Diospolis magna. — Berlin 4503.

[. . . . . .] . . . ἐν Διὸ(ς) πόλ(ει) τῆι μεγάλ(ῃ) τρ̣απ(εζ . .) Πετε-
[. . .] . ̣ιος Νεχθανου . . . . ρ . . . . ης
[. .] . . . ϛ∟ ἀργ(υρίου) ⊢ἓξ ὀβολ(ὸν) ἡμι(ώβο)λ(ον) /⊢ϛ — ϲ καὶ 18/19.
τὰ τούτω(ν) πρ(ος)δ(ιαγραφόμενα) ὀβολ(ὸν) ἡμι(ώβο)λ(ον). ∟ζ
Τιβερίου Καίσαρο(ς) 19/20.
5 Σεβαστοῦ, μην ////////.

1 *τραπ* unsicher; Ostrakon: *τρ .*) — 2 sehr verwischt.

363 Louvre 8199.

Διαγεγρ(άφηκεν) Πανᾶς Πετε . ̄ ὑπ(ὲρ) λα(ογραφίας)
ζ∟⊢ δ(έ)κ(α) /⊢ι καὶ πρ(οσδιαγραφόμενα) ἑξ — ϲ. ∟ζ Τ̣ιβ̣(ερί)ου 19/20.
Καίσαρος Αὐτοκράτορος Σεβαστοῦ
Παχὼ(ν) σεβαστῆι. Πα(. . . . .) σ(εσημείωμαι). 26. April 20.

1 *Πετεμ(ίνιος)?* — 2 *Τιβεριου* unsicher. — Zu ἑ̣ξ̣ – vgl. Einleitung.

364 Berlin 4458.

Παεμμραῦτις Ἑριέως
Πασήμει Φαῆρις χα(ίρειν). Ἔχωι (sic)
παρὰ σοῦ ἀπὸ τῆς συμφω-
[νίας] ἀπὸ τῶν δραχμῶν
5 [. . . . .] ἓξ ἐπὶ λόγ(ο)υ δραχμ(ὰς)
[δώδεκα] /ς ιβ, λοιπ(αὶ) ς δ.
[. . . . .] . . . . . ∟ια Τιβ(ε)ρίου
[. . . . .] . . . .

Eine Privatquittung. — 7 unsicher, ob Tiberius oder Claudius gemeint ist.

---

365 Berlin 4821.

Διονυτοὺς Ψεναμ[ού]νιος Πικῶς Ὀννόφρις
χ(αίρειν). Ἔχω ὑπ(ὲρ) βọα . ου ⊢ α. ∟ιβ Τιβερίους (sic)
Καίσαρως (sic) Σεβαστοῦ Φαρμοῦθι — 28. März 25.
β̄.

---

366 Memnonia. — British Mus. 12661.

Διαγεγρ(άφηκεν) Παμώνθ(ης) . [. . . . . . ὑπ(ὲρ)]
λαο(γραφίας) Με(μνονείων) ιβ𐅵 ς η. ∟ιβ Ṭị̣β[ερίου] — 24/25.
Καίσαρος Σεβαστοῦ
Αὐτοκράτορος Φαρμ[οῦθι . .]. — März/April 25.
5 (2. Hd:) Παχὼν γ ς δ, ὁμοί(ως) . . [. . . . . . .] — 28. April 25.
ὁμοί(ως) ὑπ(ὲρ) βαλ(ανικοῦ) ς β . . [. . . . . . .]
ὁμοίως ιγ𐅵 Θὼτ . [. . . . . .] — Aug./Sept. 25.

---

367 Berlin 4808.

[Διαγεγρά(φηκεν) . . .] σι Πετεμίνι(ος) ὑπ(ὲρ) λαογ(ραφίας)
[ιη𐅵 ς δ]έκα καὶ βαλ(ανικοῦ) μίαν ὀβολ(ὸν) ς — [30/31.]
[/ς]ια — ς καὶ τὰ τούτων προσδ(ιαγραφόμενα)
ἐξόβολ(ον) ς. ∟ιϑ Τιβερίου
5 Καίσαρος Σεβαστοῦ
Φαμενὼθ σεβαστῆι. — 26. Febr. 23.
Πετεμε(νῶφις) πρά(κτωρ).

368 Berlin 296.

καὶ βαλ(ανικοῦ) τετρόβολ(ον) ς
